ἀρθρ. ςιχ.
δείκνυσιν ἀλθαίνουσα παντοίαν νόσον, κη. 592
πλήθει πεποιθότων δὲ φαρμάκων μάτην.
NB. Ἆλις δέδεικτ᾽ οὖν τῇ τε πείρᾳ καὶ λόγῳ
ἣν πημονὴν ἤνεγκε τοῖς παναθλίοις
κάμνουσι πλῆθος φαρμάκων κᾀκεσμάτων, να. 1090
καὶ τῶνδ᾽ ὅσ᾽ ἢ φροῦδως μὲν ἠνάλωτ᾽ ἄγαν,
ἢ ζημιωδῶς, πρὸς δ᾽ ὄνησιν οὐδ᾽ ὅπως,
καὶ ταῦτ᾽ ἐς ἀκμὴν δυσχερῶν νοσημάτων.
εἴτις δὲ ῥαΐζοντα ῥωννύειν θέλει,
καὶ τῷδε φαρμάκοισιν ἐμποιεῖν σθένος,
πάντως πονήσει καὶ μάτην κἀπὶ βλάβῃ (σ)·
θερμαντικοῖς γὰρ φαρμάκοις κεχρημένος
ἢ ςυπτικοῖς, ςύψει τε θερμανεῖ τ᾽ ἄγαν·
κρατυντικῶν γὰρ ἥδε φαρμάκων φύσις.
ῥῶσαι θέλων οὖν ἀσθενώσει τόνδ᾽ ἅλις,
καθὰ πρόδηλον παντὶ τῷ πειρωμένῳ.
ὑπερβολὴ νόσου γὰρ, οὐ τίκτει σθένος (τ)· μη. 1013
ὃ μέτριον δὲ, τοῦτο καὶ φύσει φίλον (υ),
ὅπερ διαίτῃ μᾶλλον εὐποριςέον (φ)·
ἐκ γὰρ διαίτης καὶ μόνης εὐχυμία (χ)·
αὕτη δὲ χυμῶν τοὺς μὲν ἀλλοιοῖ γέ πως
μίξιν κεραννύουσα τῶνδ᾽ ἐφθαρμένην,

τὰ

(σ) περὶ ἀρχαίης Ἰητρ. λζ. (τ) περὶ διαίτ. α. γ. γ. ε. (υ) περὶ φύσιος ἀνθρ. ς. (φ) περὶ διαίτ. γ. ιβ. φαρμακ. α. Γαλην. περὶ συςάσ. Ἰατρικ. (χ) περὶ ἀρχ. Ἰητρικ, μβ.